τὴν ὕπαρξιν ἐσχηκότα καὶ τὴν σφῶν αὐτῶν ἀτομικὴν ἰδιότητα. Οὐκοῦν τά τε στοιχεῖα αἵ τε τῶν στοιχείων ποιότητες, τὸ θερμὸν, τὰ ὑγρὸν, τὸ ψυχρόν τε καὶ τὸ ξηρὸν, ἔστι μὲν καὶ αὐτὰ διὰ τὰ αὐτὰ πάντως ἐν τῇ αὐτῇ ὕλῃ, ἔστι δὲ οὐκ ἐντελεχείᾳ. Ἦσαν γὰρ ἂν καὶ πρὸ τοῦ μὴ εἶναι, καὶ τὸ αὐτὸ ἂν ἦν καὶ οὐκ ἦν κατὰ τὸ αὐτὸ, ἀλλὰ δυνάμει γε μόνῃ, παθητικῇ μὲν καὶ δεκτικῇ καὶ ὡς ἐν ὑποκειμένῳ τῇ ὕλῃ, ποιητικῇ δὲ ἐν τῷ ποιητικῷ σφῶν αἰτίῳ, εἴτε φύσις, εἴτε θεὸς ἂν εἴη τὸ προηγούμενον αἴτιον, καὶ οὕτως οὔτ' ἐκ τοῦ μὴ ὄντος ἁπλῶς, οὔτ' αὖ πάλιν ἐκ τοῦ ἁπλῶς ὄντος, ἀλλὰ πῇ μὲν ὄντος, πῇ δὲ οὐκ ὄντος τά τε στοιχεῖα αἵ τε ποιότητες γίνονται. Εἰ δὲ καὶ τὸ οὗ ἕνεκα καὶ τὸ τέλος ἐθέλεις μαθεῖν, δι' ὃ τὰ ξύνθετα τῶν στοιχείων ἐκ τῆς ὕλης καὶ αἱ τούτων ποιότητες γίνονται, τὰ μικτὰ σκόπει καὶ τὰ μετὰ τὰ πρῶτα στοιχεῖα. Οὔτε γὰρ μίξις οὔτε κρᾶσις ὅλως ἂν γένοιτο, μὴ τῶν ξυνθέτων ὄντων στοιχείων καὶ τῶν πρώτων γε ποιοτήτων, ἐξ ὧν ἅπασα μὲν μίξις καὶ κρᾶσις καὶ αἱ πρὸ τούτων κινήσεις γίνονται· φύσεως γὰρ ὄργανα καὶ μόριά πως τὰ τέσσαρα τῶν στοιχείων καὶ αἱ πρῶται ποιότητες.

## Ζήτημα ζ'.

*Τί πρᾶγμά ἐστιν ἡ πρώτη ὕλη καὶ ποῦ εὑρίσκεται καὶ ἐν τίνι τόπῳ ἐστὶ καὶ ὅπως ἐξ αὐτῆς γίνεται τὰ στοιχεῖα.*

## *Λύσις.*

Πλάτων μὲν ὁ θεῖος μετ' ἀναισθησίας ἁπτόν τι χρῆμα καὶ λο-

1. ἐσχηκότα Π: εσχηκότα Ε 4. αὐτῆ Ε: αὐτῆ αὐτῆ Π (ο)
8. αἰτίω Ε: αἰτίων Μ 9. ὄντος Ε: ὄντως Π 12. δι' ὃ ἔγραψα: διὸ ΕΠ 14 (καὶ 16). κρᾶσις ἔγραψα: κράσις ΕΠ
18. αἱ πρῶται Π: πρῶται (αἱ) Ε Μετὰ τὸ ποιότητες ἕπονται ἐν ἀρχῇ νέου στίχου διαγεγραμμένα τάδε· +ἔστιν ἡ πρώτη ὕλη Ε
20. πρᾶγμά ἐστιν Ε: πρᾶγμα ἐστὶν Π 21. αὐτῆς Ε; αυτῆς Π
23. ἁπτόν Ε: απτόν Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γισμῷ τινι νόθῳ μόγις πιστὸν τὴν πρώτην ὕλην διεζωγράφησεν. Ἀριστοτέλης δὲ ὁ δεινὸς ἐπιστητὴν εἶναι ταύτην κατὰ ἀναλογίαν ὡρίσατο· ὡς γὰρ πρὸς ἀνδριάντα φησὶ χαλκὸς ἢ πρὸς κλίνην ξύλον ἢ πρὸς τῶν ἄλλων τι τῶν ἐχόντων μορφὴν ἡ ὕλη καὶ τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὐτὴ πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι καὶ τὸ ὄν· ἀμφότεροι τὴν αὐτὴν περὶ αὐτῆς ἔννοιαν διαφόροις λόγοις ἐκδεδωκότες. Ἔστι γὰρ ἀμυδρὰ πάνυ καὶ οἷον σκιώδης ἡ περὶ αὐτῆς γνῶσις τῷ μηδὲν εἶναι καθ' αὑτὴν τῶν ὄντων ἐντελεχείᾳ τὴν ὕλην, ἀλλὰ δυνάμει μόνῃ γε καὶ τῷ πεφυκέναι τῶν ὄντων εἶναί τι, μᾶλλον δὲ ἅπαντα· διὸ καὶ ἐπιστητὴ λογισμῷ τινι νόθῳ, τῷ τῆς ὑποκειμένης τοῖς τεχνικοῖς εἴδεσιν ὕλης λόγῳ. Ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς ἢ πρὸς ἐκπώματα καὶ δακτύλιον ὁ χρυσός, πρὶν ἂν ἀνδριὰς ἢ ἔκπωμα ἢ δακτύλιος γένηται, οὕτως αὐτὴ πρὸς οὐσίαν ἔχει καὶ τὰ ὄντα πάντα στοιχεῖα, λέγω, καὶ τὰ ἐκ τούτων μέχρι καὶ αὐτῆς τῆς τοῦ ἀνθρώπου μορφῆς.

Ἔστι μὲν οὖν ἐν τῇ φύσει τῶν ὄντων ἡ ὕλη, μηδὲν μὲν οὖσα καθ' αὑτὴν τῶν εἰς ἃ μεταβάλλει· δεῖ γὰρ τὸ μεταβάλλειν ἐστερῆσθαι τοῦ εἰς ὃ μεταβάλλει· ἄλλως γὰρ ἂν καθ' αὑτὸ τὸ μάτην ἦν ἐν τῇ φύσει καὶ ἡ ἀντίφασις χώραν εἶχεν, ἃ δὴ πόρρω τῶν φυσικῶν ἀπεσκοράκισται λόγων· μήτ' αὖ πάλιν οἰκεῖον εἶδος ἔχουσα καὶ μορφήν, δι' ἣν ὑφίσταται καὶ τὴν οἰκείαν ὕπαρξιν ἔχει. Ἦ γὰρ ἂν οὐδέν τι τῶν ἄλλων εἰδῶν ἐλάμβανε, καὶ αὐτὴ δὲ τῶν ξυγκειμένων ἂν ἦν· ὅπερ οὐκ εὔλογον τοῦτο μὲν τῷ τὰς ἀρχὰς τῶν ἁπλῶν εἶναι δεῖν, ἐξ ὧν ὥσπερ μορίων τὰ ξύνθετα, τοῦτο δὲ τῷ

2. ἐπιστητὴν ἔγραψα: ἐπιστητὴν ἐκ τοῦ τοῦ τὸ πρῶτον γραφέντος ἐπίστητην Π: ἐπιστήμην Ε 3. ξύλον Π: ξῦλον Ε 4 5. ἡ ὕλη-μορφὴν Π: λείπουσιν Ε 6. ἔννοιαν Ε: ἔνοιαν Π 8. τῷ Π: τὸ Ε 10. ἐπιστητὴ Π: ἀπιστητὴ Ε 11. τῷ Ε: τὸ Π 12. λόγῳ Π: λέγω Ε 17-18 δεῖ-μεταβάλλει Ε: λείπουσι Π 18. ἂν Π: λείπει Ε καθ' αὑτὸ ἔγραψα: καθαυτὸ ΕΠ 21. οἰκείαν Ε: οἰκεῖαν Π 21-σ. 157,14. Ἦ γὰρ-ὕπαρξιν ἔχει Ε: λείπουσι Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰς ἀνάγκην ἰέναι διὰ τοῦτο τὴν εἰς ἄπειρον ἐν τοῖς καθ' αὐτὸ πρόοδον ξυγχωρεῖν· ἤ, εἰ μὴ τοῦτο, τὴν ἀνείδεον ὕλην τῇ προόδῳ πέρας τιθέναι, ἤ, εἰ βούλει, τό γε μηδέν. Ὧν θάτερον μὲν ἐχρῆν τὴν ἀρχὴν αὐτίκα μάλα προϋποθέσθαι καὶ μὴ ὕλης ὕλην πρώτης προτέραν ἀλόγως ἄγαν ἀναλύοντος προεπινοεῖν, θάτερον δὲ οὐδ' ἐπινοῆσαί γε ἐγχωρεῖ. Τό τε γὰρ ὂν οὐκ ὂν καὶ οὐκ ὂν αὖ πάλιν ὂν ἔσται, εἰ τὸ ὂν ὡς ἐν ὑποκειμένῳ τῷ μηδενί, καὶ μὲν δὴ καὶ οὐδὲ ξυμβεβηκός, ἀλλ' οὐσία μᾶλλόν γε οὖσα τῷ τε τοῖς οὖσι πᾶσιν ὑφεστηκέναι τῷ τε τὴν οὐσίαν οὐχ οἷόν τε ξυμβεβηκὸς οὔτ' αὖ πάλιν τὸ ξυμβεβηκὸς οὐσίαν γενέσθαι.

Ἔστι μὲν οὖν, ὅπερ ἔλεγον, ἐν τῇ φύσει τῶν ὄντων ἡ ὕλη, μηδὲν μὲν οὖσα καθ' αὑτὴν ἐντελεχείᾳ τῶν εἰς ἃ μεταβάλλει, μήτ' αὖ πάλιν οἰκεῖον εἶδος ἔχουσα καὶ μορφήν, δι' ἣν ὑφίσταταί τε καὶ τὴν οἰκείαν ὕπαρξιν ἔχει, πάντα δὲ οὖσα δυνάμει καὶ εἴδει, καθάπερ ἐλέγομεν. Ἔστι δὲ κατὰ μὲν τὴν ἡμετέραν θεολογίαν οἵα τε οὖσα καὶ αὐτὴ καθ' αὑτὴν εἶναι τῇ οἰκείᾳ ὑπάρξει καὶ χωριστὴ τῶν εἰδῶν ἁπάντων καθ' ὕπαρξιν· τῶν γὰρ τῷ χρήματι διακεκριμένων, εἰ μὴ οὐσιωδῶς τάττοιτο, θάτερον ἄνευ θατέρου δύναται εἶναι, κἂν μὴ τῇ γε φύσει, τῇ γε μὴν ὑπὲρ φύσιν δυνάμει, τῇ τοῦ θεοῦ, καθ' ἣν καὶ ἄνευ χρώματος σῶμα καὶ τοὐναντίον καὶ εἶναι καὶ ὑφίστασθαι· κατὰ δὲ τὴν ἔξω σοφίαν, καθ' αὑτὴν μὲν τῶν ἀδυνάτων οὖσα καὶ εἶναι καὶ ὑφεστάναι, τῇ γε μὴν τῶν εἰδῶν ὑπάρξει τῶν φυσικῶν ἅπερ ἐν αὐτῇ κατὰ τὴν αὐτῆς ἔχει δύναμιν καὶ ὑφεστῶσα καὶ οὖσα κατ' ἐντελέχειαν ἐσαεὶ τῇ ἄλλου καὶ ἄλλου φυσικοῦ εἴδους ὑπάρξει, ἀφ' οὗ καὶ τὸ εἶναι τοῖα καὶ τοῖα καὶ τὸ ὀνομάζεσθαι δήπου λαμβάνει, ἄλλο καὶ ἄλλο τὸ εἶναι ἔχουσα καὶ διάφορον, νῦν μὲν ἀψύχοις, νῦν δὲ προσῆκον ἐμψύχοις καὶ τούτων πάλιν ποτὲ μὲν αἰσθητοῖς, ποτὲ δὲ ἀναισθήτοις ἁρμόζον,

1. καθ' αὐτὸ ἔγραψα: καθαυτὸ Ε  4. τὴν ἀρχὴν ἔγραψα: τηναρχὴν Ε  6. ἐπινοῆσαί ἔγραψα: ἐπινοῆσαι Ε  8. μᾶλλόν ἔγραψα: μᾶλλον Ε  14. εἴδη Ε: εἴδει Π  16. οἰκεία Ε: οἰκεῖα Π  21. τὴν ἔξω Π: $^{\text{τὴν}}$ ἔξω Ε  25. ἀφ' οὗ Π: ἀφοῦ Ε

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ὥςπερ αὖ πάλιν τῶν αἰσθητῶν ἔστι μὲν ὅτε μὴ μεταβαίνουσιν, ἔστι δὲ καὶ ὅτε μὴ μεταβαίνουσι πρέπον, καθάπερ καὶ τούτων ἐνίοτε μὲν ἀλόγοις, ἐνίοτε δὲ λογικοῖς. Ταυτὶ γὰρ τῶν ὄντων ἐν ἑαυτῇ λαμβάνει ἡ ὕλη καὶ τούτων αὖ πάλιν τῷ εἶναι καὶ τῷ ὀνόματι ἔστι τε καὶ παρωνύμως, ὥςπερ ἐλέγομεν, ὀνομάζεται.

Καὶ μὲν δὴ καὶ ἣν ἔχει δύναμιν ὁλοσχερῆ καὶ ξυγκεχυμένην ἡ ὕλη, δι᾽ ἧς δεκτικὴ πάντων ἐστὶ τῶν ἐνύλων εἰδῶν, οὔτ᾽ εἶδός ἐστιν αὐτῇ διὰ τὰ αὐτὰ δήπου, οὔτ᾽ αὖ πάλιν ξυμβεβηκὸς ἄλλο τι παρ᾽ αὐτὴν τῷ γε χρήματι. Ὡς γὰρ τὸ γελαστικὸν πρὸς τὸν ἄνθρωπον ἔχει, οὕτως ἐκείνη πρὸς τὴν ἧς ἐστι δύναμις, πάθος οὖσα ξύμφυτον ἐκείνῃ καὶ πάντῃ ἀχώριστον οὐ φύσει μόνον, ἀλλὰ καὶ τῷ ὑπὲρ φύσιν θεῷ τῷ γε χρήματι καὶ δι᾽ ἄλλο μέν, οὐχ ἥκιστα δέ γε καὶ διὰ τὴν ἀντίφασιν. Τῷ γε μὴν εἰδητικῷ λόγῳ, τῷ κατὰ τὸ εἰ ἦν εἶναι, καὶ μάλα κεχώρισταί τε καὶ διακέκριται, καὶ ἄλλο παρὰ τοῦτον ὕλη καὶ ὕλης δύναμις. Οὐδὲ γὰρ τὰ αὐτὰ αὐτοῖς ἐφαρμόττει, ἵν᾽ εἴη καὶ αὐτὰ πάντῃ ταὐτὰ καὶ μὴ διαφέροντα, ἀλλ᾽ ὕλη μὲν ὑποκείμενον, δύναμις δὲ ὡς ἐν ὑποκειμένῳ τῇ ὕλῃ, κἀκείνη μὲν οὐσία δήπου, καθάπερ δέδεικται, αὕτη δὲ ὡς διάθεσις καὶ ξυμβεβηκός· προσθείην δ᾽ ἂν καὶ ὡς ἡ μὲν ἥ, ἡ δ᾽ αὖ ἥ. Καὶ ἄλλα δ᾽ ἂν εὕροι τις, ἃ θατέρᾳ μὲν ἐφαρμόττει, θατέρᾳ δὲ οὔ, ἐξ ὧν ὥςπερ ὑστέρων ἡ κατὰ λόγον αὐτῶν διάκρισις ἀποδείκνυται τῇ ὅτι γε ἀποδείξει.

Εἰσὶ γὲ μὴν καὶ παρὰ τὴν ὁλοσχερῆ ταύτην δύναμιν ἐν τῇ ὕλῃ καὶ ἄλλαι δυνάμεις ἀτομικαί, καθ᾽ ἃς τὸ τόδε τι δέχεται καὶ τὸ ἄτομον· αἳ χωρισταὶ τῆς ὕλης εἰσὶ καὶ τῷ χρήματι, καὶ ταῦτα

2. ἔστι δὲ Π: ἔτι δὲ Ε πρέπον Ε: πρῶτον διαγεγραμμένον ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ πρέπον Π 6. ξυγκεχυμένην Ε: ξυγκεχυμένη Π 7-8. εἶδός ἐστιν ἔγραψα: εἶδος ἔστιν Ε: εἶδος ἐστὶν Π 8. ἄλλο ἔγραψα: ἀλλό ΕΠ 10. ἐστι Ε: ἐστὶ Π 12. οὐχ ἥκιστα Π: οὐχήκιστα Ε 13. δέ Π: δέ ἐκ τοῦ τὸ πρῶτον γραφέντος δὲ Ε 16. ταὐτὰ ἔγραψα: ταυτὰ ΕΠ 19. ἡ μὲν Π: μὲν Ε 22. ὅτι Ε: ὅτη Π 24. τόδε Π: τόδέ Ε

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τῷ αὐτῷ μέτρῳ ᾧ καὶ ἡ ὕλη κατὰ τὸ πρότερον, εἴτε γέγονεν εἴτε καὶ μή, μετρούμεναι. Φθείρεται γὰρ ἡ τὸν Σωκράτην ἀφορῶσα δεκτικὴ δύναμις, ὅθ᾽ ἡ ὕλη τὸ τοῦ Σωκράτους δέδεκται εἶδος. Διὸ καὶ οὐδὲ τὸ αὐτὸ ἄτομον ὁ Σωκράτης μετὰ τὴν οἰκείαν φθορὰν ἐπανελθεῖν καὶ πάλιν ὑπάρξειν δύναται· ἔφθαρται γὰρ ἡ τῆς ὕλης δεκτικὴ δύναμις ἤδη, τοῦ Σωκράτους τὸ εἶναι λαβόντος, καθ᾽ ἣν ἐκεῖνον ἠδύνατο δέξασθαι. Λέγω δὲ ταῦτα νυνὶ τοῖς ἔξω σοφοῖς ἑπόμενος, ἐπεί γε κατὰ τοὺς ἔσω καὶ καθ᾽ ἡμᾶς ἄλλος ἂν ἦν περὶ αὐτοῦ λόγος καὶ ἄλλο μυστήριον, περὶ οὗ λέγειν οὐκ ἔστιν ἐν τῷ παρόντι.

Ἐκ δὴ τῶν εἰρημένων φανερὸν ἤδη ταυτασὶ τῶν προτάσεων ἀληθεῖς εἶναι καὶ ταῦτά πως ἀντικειμένας ἀλλήλαις καὶ οἷον ἀντιφασκούσας· ἡ ὕλη ἐστίν, ἡ ὕλη οὐκ ἔστιν· ἡ ὕλη τὰ ὄντα πάντα ἐστίν, ἡ ὕλη οὐδὲν τῶν ὄντων ἐστίν· ἡ ὕλη δυνάμει μόνον ἐστίν, ἡ ὕλη ἐντελεχείᾳ ἐστίν· ἡ ὕλη ἀεὶ δυνάμει ἐστίν, ἡ ὕλη οὐδέποτε δυνάμει, ἀεὶ δ᾽ ἐντελεχείᾳ ἐστί. Τῷ γὰρ ἐν τῇ φύσει τῶν ὄντων εἶναι τὴν ὕλην, τῷ θ᾽ ὑπὸ τὰ εἴδη ἀεὶ εἶναι ἔστι τε καὶ τὰ ὄντα πάντα ἐστί. Καὶ ἐντελέχεια δ᾽ ἂν εἴη καὶ κατ᾽ ἀμφότερα, τῷ τ᾽ αὖ πάλιν κατ᾽ αὐτὴν τὰ εἴδη μὴ εἶναι, τὸ δὲ εἶδος τὸ ὂν τῷ τε πεφυκέναι τὰ εἴδη πάντα γενέσθαι οὔτ᾽ ἔστι καὶ οὐδὲν τῶν ὄντων ἐστί, καὶ δυνάμει δ᾽ ἂν εἴη μόνη· προςθείην δ᾽ ἄν, ὅτι καὶ τῷ δύνασθαι πάντα γενέσθαι τὰ ὄντα πάντα καὶ ἔστι καὶ λέγεται. Καὶ οὐσία δὲ λέγοιτ᾽ ἂν ἡ ὕλη καὶ οὐκ οὐσία καὶ τόδε τι καὶ οὐ τουτὶ καὶ ὂν οὐκ ὂν παρὰ τὸ οἰκείαν εἶναι καὶ τὴν τῶν εἰδῶν ὕπαρξιν καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ.

Τοιαύτη μὲν οὖν ἐστιν, ὡς ἐκ πολλῶν ὀλίγα διεξελθεῖν, ἡ

1. πρότερον Π: πρότερον ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρώτερον 3. ὕλη Ε: ὕ Π 4. οἰκείαν Ε: οἰκεῖαν Π 5. ὑπάρξειν Ε: ὑπάρξαι (ειν) Π 15. ἡ ὕλη ἐντελεχεία—δυνάμει ἐστὶν Π: λείπουσιν Ε 17. τε Ε: τὲ Π 23. οὐσία Ε: ουσία Π 24. οἰκείαν ἔγραψα: οἰκεῖαν Ε: οἰκεῖον Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πρώτη ὕλη, τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ τῶν ὄντων ἀρρύθμιστον καθ' ἑαυτὸ καὶ ᾗ πρῶτόν ἐστιν ὑποκείμενον τῶν ἐχόντων ἐν αὑτοῖς κινήσεως ἀρχὴν καὶ μεταβολῆς. Οὕτω γάρ πως ὡρίσαντο τὴν ὕλην οἱ φυσικοί. Ἔστι δὲ καὶ εὑρίσκεται ὡς μὲν ἐν ὅλῳ τῷ γε παντὶ ὅσον ἐξ αὐτῆς ξύγκειται· τὸ γὰρ οὐράνιον ἔῶ διὰ τὸν Περίπατον σῶμα· ὡς δὲ ἐν τόπῳ τῷ τοῦ παντὸς καὶ τῶν ἐκείνου μερῶν, κατὰ ξυμβεβηκός γε μὴν καὶ οὐ καθ' αὑτό, καθ' ὃ τὰ μόρια ἐν τῷ αὐτῷ τόπῳ τοῦ οὗ ἐστι μόρια· καθ' αὑτὴν δὲ οὐδέποτ' ἂν εἴη ἐν τόπῳ τῷ μηδὲ σῶμά γε εἶναι μηδὲ πέρασιν οἰκείοις ὡρίσθαι. Διττὸς δὲ ὁ τόπος, ὁ κατὰ περιγραφήν τε καὶ ὁ καθ' ὁρισμόν, καθ' ὃν ἐν τόπῳ λέγοιτ' ἂν πως ἡ ὕλη καὶ καθ' αὑτὴν τῷ ἐνταῦθα παρεῖναι καὶ μὴ κἀκεῖ. Ὅπως δ' ἐκ τῆς ὕλης τὰ πρῶτα γίγνεται τῶν στοιχείων, ἐν τῷ πρὸ τούτου δεδηλώκαμεν κεφαλαίῳ. Ταὐτά τοι περὶ αὐτοῦ τὰ αὐτὰ λέγειν ἀφέντες ἐχόμεθα τῶν ἑξῆς.

## Ζήτημα η΄.

*Ποῖα γένη μικτῶν καὶ μιγμάτων εὑρίσκεται ἐν τοῖς φυσικοῖς πράγμασι καὶ ποῖά εἰσιν αὐτὰ τὰ πράγματα τὰ μικτά;*

## *Λύσις.*

Ὅσα μὲν τὰ πρῶτα στοιχεῖα πῦρ ἀέρα ὕδωρ καὶ γῆν ἐξ αὐτῶν ξυντίθεται τῶν στοιχείων, εἴτε δυνάμει μόνον ἐνόντων εἴτε

1. ἀρρύθμιστον ἔγραψα: ἀρύθμιστον Π: ἀρίθμιστον Ε πρῶτον ἐστιν ἔγραψα: πρῶτον ἐστὶν ΕΠ 3. αὑτοῖς Ε: αὐτοῖς Π 5. γε Π: λείπει Ε 7. καθ' αὑτὸ ἔγραψα: καθαυτὸ ΕΠ καθ' ὃ Ε καθὸ Π 8. αὐτῷ Π: αὐτὸ Ε ἐστι Ε: ἐστὶ Π 9. μηδὲ ἔγραψα: μὴδὲ ΕΠ σῶμά ἔγραψα: σῶμα ΕΠ 10-11. καθ' ὁρισμὸν Ε: καθορισμὸν Π 14 ταὐτά τοι ΕΠ: Πρβλ. κατωτέρω σ. 163, 2 καὶ σ. 169, 16

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

καὶ ἐνεργείᾳ, ταυτὶ δὲ ἅπαντα μικτὰ πάντ' ἐστί τε καὶ λέγεται τῷ ἐν αὐτοῖς μεμίχθαι καὶ μίγνυσθαι τὰ στοιχεῖα καὶ μηδὲν εἶναι ὅ τι μὴ πυρὸς καὶ ὕδατος καὶ γῆς καὶ ἀέρος μετέχει, μᾶλλον δὲ ᾧ μὴ τοῦτ' ἐστὶν ἡ οὐσία, ἐξ ἧς ἐνούσης ἄλλη τις παρὰ ταύτην ἀνίσχει μορφὴ καὶ εἶδος, οὗ ἕνεκα τὰ στοιχεῖα καὶ αἱ τούτων ποιότητες, καθάπερ τὸ ξύλον καὶ ὁ πρίων τῆς κλίνης καὶ ὁ χαλκὸς καὶ τὸ σμιλίον τοῦ ἀνδριάντος, πλὴν εἰ μὴ τῷ ἐνεῖναι καὶ μὴ τὴν διαφορὰν ἔχοι, ὅτι καὶ φύσις μὲν ἔνεστι, τέχνη δὲ οὔ.

Ὅσα τοίνυν εἴδη μετὰ τὰ πρῶτα στοιχεῖα, τοσαῦτα καὶ εἴδη μικτῶν καὶ μίξεων. Λέγω δὲ εἴδη τὰ ἐν οὐσίᾳ, καθ' ὧν τὰ ἐν ταῖς ἄλλαις κατηγορίαις εἴδη κατηγορεῖταί τε καὶ λέγεται· ταυτὶ δὲ πεπέρασται μὲν τῇ φύσει καὶ ὥρισται, ἡμῖν δὲ ἄπειρά ἐστι καὶ ἀόριστα καὶ διὰ τοῦτο καὶ ἄγνωστα, ἤ, εἰ βούλει, διὰ τοῦτ' ἄπειρα διότι καὶ ἄγνωστα· ἀντέστραπται γάρ πως ἐνταῦθα ἡ ἀκολούθησις. Ἄγνωστα δέ ἐστι τῷ μὴ ταῖς ἡμετέραις αἰσθήσεσιν ὑποκεῖσθαι καὶ διὰ τοῦτο μηδὲ τῷ νῷ διὰ τὸ ἄλλα πάντως ἐν ἄλλοις εἶναι τοῖς τόποις, ἔνια μὲν ἐν ἀέρι, ἔνια δ' ἐν θαλάττῃ καὶ γῆς λαγόσιν, ἔνθα διατρίβειν ἀνθρώπους ἤτοι οὐκ ἀσφαλὲς ἢ ἀδύνατον. Ἐῶ λέγειν, ὡς ἃ μὲν ἡμῖν ἔγνωσται, παρ' ἡμῖν ὄντα, οὐ πάντα δῆλα Σκύθαις τε καὶ Ἰνδοῖς, ἃ δὲ ἐκείνοις, παρ' αὐτοῖς ὄντα, γνωστὰ οὐχ ἅπανθ' ἡμῖν δῆλα καὶ γνώριμα. Ἐν γὰρ διαφόροις κλίμασι καὶ διάφορα δήπου τὰ εἴδη, καὶ ἄψυχα ὁμοίως καὶ ἔμψυχα. Οὐκοῦν ἔγνωσται μὲν τῇ φύσει ὅσα μικτῶν εἴδη καὶ μίξεων, οὐκ ἔγνωσται δὲ ἡμῖν ὡρισμένως, καθάπερ εἴπομεν, ὁλοσχερῶς γε μὴν καὶ οἷον ἐν γένει οἴδαμεν ὅσα τε μικτὰ καὶ τίνα ταυτί, ἄψυχα μὲν πρῶτον,

1. ἐστί τε Π: ἐστι Ε 4. ἐστὶν Π: ἐστιν Ε ἄλλη Ε: ἀλλή Π 6. ξύλον Π: ξῦλον Ε 7. σμιλίον ἔγραψα: σμιλεῖον ΕΠ ἐνεῖναι Ε: ἐνῆναι Π 11 κατηγορεῖται Ε: κατηγορῗταί Π 13. ἢ Π: καὶ Ε 15. ἐστι Π: εστι Ε 16. μηδὲ Ε: μὴδὲ Π 17. λαγόσιν Ε: λαγῶσιν Π 18. ἐῶ Π: εῶ Ε 20. τε Ε: τὲ Π 21. οὐχ Ε: οὐχ' Π 24. γε Ε: λείπει Π 25. ὅσα ἔγραψα: ὅσά ΕΠ



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

οἷον λίθοι καὶ μέταλλα, εἶτα πάντα τὰ ἔμψυχα καὶ τούτων πρότερα μὲν τὰ φυτά, εἶτα ζωόφυτα καὶ μετὰ ταῦτα τὰ ζῷα, καὶ τούτων αὖ πάλιν πρότερα μὲν τὰ ἄλογα, εἶτα τὰ λογικά, οἷος ὁ ἄνθρωπος, ὕστατον ὂν ἁπάντων μικτῶν τῇ γενέσει καὶ δι' ὃ τἆλλα πάντα τὰ πρότερα.

## Ζήτημα θ'.

*Πόσα ἐστὶ τὰ φυσικὰ πράγματα καὶ ποῖα καὶ πόσα ἐστὶ τὰ μὴ φυσικὰ καὶ ποῖα καὶ πόσα τὰ κατὰ φύσιν καὶ ποῖά εἰσι.*

## Λύσις.

Φυσικὰ μὲν πράγματα κατὰ τοὺς ἰατρούς· ἐντεῦθεν γὰρ ἄρχονται τὰ ἰατρικά σου ζητήματα· τοσαῦτά ἐστι καὶ τοιαῦτα· στοιχεῖα, κράσεις, χυμοί, μέλη, δυνάμεις, ἐνέργειαι καὶ τὰ πνεύματα. Λέγεται δὲ ταυτὶ φυσικὰ τῷ ἐνεῖναι τοῖς ἐμψύχοις τὰ μὲν ὡς οὐσιώδη γε μόρια, τὰ δὲ ὡς διαθέσεις, τὰ δ' ὡς ὄργανα, τὰ δ' ὡς δυνάμεις τε καὶ ἐνέργειαι· ἃ δὴ πάντα τὴν τῶν ζώντων φύσιν ἀναπληροῖ.

Στοιχεῖα τοίνυν ἐστὶ σώματα τοῦ ἡμετέρου σώματος καὶ τῶν ἄλλων πρώτιστα μόρια, ἅπερ εἰς ἄλλα ἅττα διάφορα τῷ εἴδει διαλυθῆναι σώματα ἥκιστα δύναται καὶ ὧν μιγνυμένων διάφορα καὶ ποικίλα εἴδη τῶν ἐν γενέσει καὶ φθορᾷ γίνεται. Ἔστι δὲ τέτταρα τὸν

1. πρότερα Π: πρότερα ἐκ τοῦ τὸ πρῶτον γραφέντος πρώτερα Ε 2. μετὰ ταῦτα Π: μεταταῦτα Ε 4. τἆλλα ἔγραψα: τ'ἄλλα ΕΠ 8. ποῖά εἰσι ἔγραψα: ποῖα εἰσὶ ΕΠ 11. τοσαῦτά ἐστι ἔγραψα: τοσαῦτα ἐστὶ ΕΠ 13. δὲ ταυτὶ Π: ταῦτα Ε 14-19 Μικρὸν μέρος μεταξὺ τῶν λεξεων διαθέσεις καὶ ἥκιστα διάτρητον, συνεκπεσόντων τῶν ἐν αὐτῷ γεγραμμένων Π 18. πρώτιστα Ε: πρότιστα Π ἅττα Ε: ἄτα Π εἴδει Π: εἴδει ἐκ τοῦ τὸ πρῶτον γραφέντος εἴδη Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἀριθμὸν, γῆ ὕδωρ ἀήρ τε καὶ πῦρ, γῆ μὲν ξηρὰ καὶ ψυχρὰ καὶ βαρεῖα οὖσα ἁπλῶς· ταῦτά τοι καὶ τὸν τοῦ μέσου τόπον ἐπέχει, κάτω γε ὄντα ἁπλῶς· ὕδωρ δὲ ψυχρόν τε ὂν καὶ ὑγρὸν, πρὸς δὲ καὶ βαρὺ οὐχ ἁπλῶς, ἀλλὰ πῆ· περὶ γὰρ τὴν γῆν ἐστί τε καὶ εἰς αὐτὴν φέρεται· ἀὴρ δὲ καὶ αὐτὸς ὑγρός ἐστι καὶ θερμὸς καὶ κοῦφος μετὰ τὸ πῦρ· αὐτό γε μὴν τὸ πῦρ θερμόν τε ἐστι καὶ ξηρὸν καὶ ἁπλῶς κοῦφον, οὗ τόπος ὁ ἀνωτάτω χῶρος, πρὸς ὃν φύσει φέρεται καὶ ἐν ᾧ ἠρεμεῖ. Συντελεῖ δὲ ταῦτα πρὸς γένεσιν, γῆ μὲν πρὸς τὸ συνέχειν καὶ συντηρεῖν τῇ ἑαυτῆς συστάσει τά τε σχήματα τά τε εἴδη· τοιαύτη γὰρ ἡ τοῦ ξηροῦ φύσις, ᾧ πρώτως ἐφαρμόττει τῇ γῇ· ὕδωρ δὲ πρὸς τὸ λαμβάνειν τὰ αὐτὰ πάλιν ῥαδίως. Εἰ γὰρ καὶ ῥᾷστα πάνυ ξυγχεῖται τὸ ὕδωρ τῇ ῥευστῇ φύσει καὶ τὰ ἐν αὐτῷ φθείρει σχήματά τε καὶ εἴδη, ῥαδίως γε μὴν τὰ αὐτὰ πάλιν λαμβάνει καὶ τῇ γῇ ξυγκεκραμένα καὶ τῷ ἐκείνης ξηρῷ φυλάττει πάνυ καλῶς τὰ αὐτά. Καὶ μὲν δὴ καὶ ἀὴρ πρὸς γένεσιν συντελεῖ τῷ οἰκείῳ μανῷ καὶ λεπτῷ· ἀραιοῦται γὰρ δι' αὐτοῦ τὰ σώματα καὶ λεπτύνεται καὶ πρὸς τὸ ἀνώτερον φέρεται. Καὶ τὸ πῦρ δὲ πεπαίνει τε καὶ λεπτύνει καὶ μίγνυσι καὶ γῆς καὶ ὕδατος τὸ ψυχρὸν καταστέλλει καὶ ἁπλῶς τὴν κρᾶσιν ἀποτελεῖ.

Ταυτὶ μὲν οὖν τὰ στοιχεῖα. Κρᾶσις δ' ἐστὶ ποιότης ἐκ τῆς πρὸς ἀλλήλας τῶν ἐναντίων ποιοτήτων τῶν ἐν τοῖς πρώτοις στοιχείοις δράσεώς τε καὶ πείσεως γινομένη τε καὶ ἀνίσχουσα. Κράσεως δὲ εἴδη ἐννέα· μία μὲν ἡ εὖ ἔχουσά τε καὶ εὔκρατος, ἣ τὸ γεωμετρικὸν μέσον ἐπέχει τῶν πρώτων γε ποιοτήτων, οὐ τὸ ἀριθμητικὸν, τὸ κατὰ τὸ ἴσον διάστημα· τῶν δὲ λοιπῶν αἱ μὲν ἁπλαῖ, αἱ δὲ ξύνθετοι λέγονται, ὥςπερ καὶ τῶν ἁπλῶν ἡ μὲν θερμοτέρα,

1. ἀριθμὸν Π: ἀρϊμὸν Ε 2. ταῦτά τοι ΕΠ. Ἴδε καὶ ἀνωτέρω σ. 160, 14 καὶ κατωτέρω σ. 169, 16. 5. ἐστι Π: ἔστι Ε
9. συνέχειν Ε: συνέχειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος συντρέχειν Π 14. ξυγκεκραμένα ἔγραψα: συγκεκραμένα ΕΠ
16-19. τῷ οἰκείῳ - ἀποτελεῖ Ε: λείπουσι Π 22. πείσεως Π: πήσεως Ε τε Ε: τὲ Π κράσεως Π: κράσεων Ε
25. ἁπλαῖ Π: ἁπλαὶ Ε

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἡ δὲ ψυχροτέρα, ἡ δὲ ὑγροτέρα, ἡ δὲ ξηροτέρα, καὶ τῶν ξυνθέτων αὖ πάλιν ἡ μὲν θερμοτέρα καὶ ὑγροτέρα, ἡ δὲ θερμοτέρα καὶ ξηροτέρα, ἡ δὲ ψυχροτέρα καὶ ὑγροτέρα, ἄλλη δ' αὖ ψυχροτέρα καὶ ξηροτέρα καλεῖται. Θερμοτέραν γε μὴν καὶ ψυχροτέραν ἢ ὑγροτέραν καὶ ξηροτέραν οὐκ ἔστιν εὑρεῖν κράσεις ξυνθέτους τῷ μὴ ξυνίστασθαι ταυτασί γε τῶν ποιοτήτων, ὡς ἐν τοῖς φυσικοῖς ἀποδέδεικται.

Χυμὸς δέ ἐστι σῶμα ὑγρὸν καὶ ῥευστὸν, εἰς ὃ πρῶτον μεταβάλλει τὸ τρέφον. Καὶ τούτου δὲ εἴδη εἰσὶ τέτταρα· ὁ μὲν γάρ ἐστιν ὑγρὸς καὶ θερμὸς, τὸ αἷμα· ὁ δὲ θερμὸς καὶ ξηρὸς, ἡ ξανθὴ χολή· ἄλλος δ' αὖ ξηρὸς καὶ ψυχρὸς, ἡ μέλαινα, ὥςπερ καὶ ἄλλος τις αὖ πάλιν ψυχρὸς καὶ ὑγρὸς, τὸ φλέγμα. Ὧν δὴ καλῶς κεκραμένων καὶ μεμιγμένων καὶ μήθ' ὑπερβαλλόντων, μήτε μὴν ἐλλειπόντων τῷ λόγῳ, ὑγιαίνει τε καὶ τὰς οἰκείας ἀποτελεῖ πράξεις καὶ ἐνεργείας τὸ ζῷον, ἢ, εἰ βούλει, ὁ ἄνθρωπος, περὶ οὗ μάλιστα τοῖς ἰατροῖς ὁ λόγος καὶ ὁ σκοπός. Εἰ δὲ κατά τι τούτων διαμαρτία τις γένοιτο, ἀνάγκη καὶ τὸν ἄνθρωπον αὐτίκα μάλα νοσάζεσθαι. Οὐκ ἀγνοῶ δὲ ἐνταῦθα καὶ ὅτι τινὲς τῶν παλαιτέρων Ἀσκληπιαδῶν τρεῖς ἔλεγον εἶναι μόνους χυμοὺς ἐν τῷ σώματι, τὸ φλέγμα δῆλον ὅτι καὶ ἀμφοτέρας γε τὰς χολὰς, τὸ δ' αἷμα τὸ ἐκ τῶν τριῶν μίγμα, καλῶς ἐχόντων καὶ κεκραμένων κατὰ λόγον πρὸς ἄλληλα. Ἀλλὰ περὶ τούτου νυνὶ λέγειν περιεργότερον ἂν εἴη μᾶλ-

1 - 3. Μικρὸν μέρος μεταξὺ τῶν λέξεων ψυχροτέρα ἡ δὲ καὶ ὑγροτέρα, ἀντιστοιχοῦν ἐν τῷ ὄπισθεν τοῦ φύλλου πρὸς τἀνωτέρω ἐν σ. 162, 14-19, διάτρητον, συνεκπεσόντων τῶν ἐν αὐτῷ γεγραμμένων Π  4. ἢ Π: καὶ Ε  6. ξυνίστασθαι ἔγραψα: συνίστασθαι ΕΠ  8. δέ ἐστι Ε: δὲ ἐστὶ Π  9. τέτταρα Π: τέτταρα Ε  9-10. γάρ ἐστιν Ε: γὰρ ἐστὶν Π  11. ἄλλος ἔγραψα: ἄλλός ΕΠ  12. ὧν Ε: ὧν ἐκ τοῦ ὃν Π  14. Μετὰ τὸ κεκραμένων σταυρὸς ἐμφαίνων ἴσως προςθήκην ἐν τῇ ὤᾳ, ἥτις ὅμως δὲν ἐγράφη Ε  τε Ε: τὰ Π  ἀποτελεῖ Ε: λείπει Π  17. τις Ε: τίς Π  νοσάζεσθαι Π: νοσίζεσθαι Ε  20. δῆλον ὅτι ἔγραψα: δηλονότι ΕΠ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λον ἢ προὔργου· ἴσως ἐν ἄλλοις καὶ περὶ τούτου πραγματευσόμεθα. Νυνὶ δὲ ἐχώμεθα τῶν ἑξῆς.

Τὰ μέλη τοίνυν σώματά ἐστι καὶ αὐτά, πρῶτα μόρια τοῦ ἡμετέρου σώματος ὄντα, ἅπερ ἐκ τῆς τῶν χυμῶν πρὸς ἄλληλα μίξεως ἐν τῇ πρώτῃ τῶν στοιχείων γίνεται μίξει, καθάπερ καὶ αὔξεται τοῖς αὐτοῖς δήπου χυμοῖς ἐκ τῆς τροφῆς γινομένοις. Τὸ γὰρ τρεφόμενον τοῖς αὐτοῖς τρέφεται πάντως ἐξ ὧν καὶ γίνεται. Τῶν δὴ τοιούτων μελῶν τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ ξύνθετα· καὶ ἁπλᾶ μέν ἐστι τὰ ὁμοιομερῆ, οἷα τὸ ὀστοῦν, ὁ χόνδρος, τὰ νεῦρα, ὁ ξύνδεσμος, ἡ ἀρτηρία, ἡ φλέψ, ὁ ὑμὴν καὶ ἡ ἁπλῆ σάρξ· τούτων γὰρ τεμνομένων τὰ μόρια τὸν τοῦ ὅλου σώζουσι λόγον· ξύνθετα δὲ τὰ ἐκ τούτων, ἤτοι πάντων ἢ τινῶν γε ξυγκείμενα, ἅπερ καὶ ἀνομοιομερῆ λέγεται τῷ μὴ τὰ σφῶν αὐτῶν μόρια τὸν τοῦ ὅλου σώζειν γε λόγον, πρὸς δὲ καὶ ὀργανικὰ τῷ διὰ τούτων τὰς κινήσεις ἐν ἡμῖν γίνεσθαι καὶ τὰς ἐνεργείας, οἷα καρδία, ἧπαρ, ἐγκέφαλος, ὄρχεις καὶ τὰ τοιαῦτα, πρὸς δὲ καὶ κεφαλὴ καὶ χεῖρες καὶ πόδες καὶ ὅσα τῆς ὁμοίας ἐστὶ δυνάμεως. Τούτων γε μὴν ἁπάντων ὁμοιομερῶν τε καὶ ἀνομοιομερῶν μορίων τοῦ σώματος, τέτταρές εἰσιν αἱ πᾶσαι διαφοραί, καθά που καὶ τῷ ἐκ Περγάμου δοκεῖ. Τὰ μὲν γὰρ ἀρχαί τινές εἰσι, τὰ δ' ἀπ' ἐκείνων ἐκπέφυκε, τὰ δὲ οὔτ' ἄλλων ἄρχει τῆς διοικήσεως, οὔθ' ὑπ' ἄλλων ἄρχεται, ξυμφύτους ἔχοντα τὰς διοικούσας αὐτὰ δυνάμεις, ἔνια δὲ ξυμφύτους τε ἅμα καὶ ἐπιρρύτους. Ἀρχαὶ μὲν οὖν εἰσιν ἐγκέφαλος, καρδία, ἧπαρ καὶ ὄρχεις, εἰ βούλει· ἀπ' ἐκείνων δὲ ἐκπέ-

1. προὔργου ἔγραψα: προύργου Π: ποὔργου Ε 2. ἐχώμεθα Π: ἐχώμεθα ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐχόμεθα Ε
8. τοιούτων Ε: τοιούτων ἐκ τοῦ τοιούτον Π μέν ἐστιν Ε: μὲν ἐστὶν Π (καὶ 9) ἁπλᾶ Π: ἁπλὰ Ε 9. οἷα Π: οἷον Ε χόνδρος ἔγραψα: χρόνδρος ΕΠ 10. ἁπλῆ Π: ἁπλὴ Ε 17. ἐστὶ Ε: ἔστι Π 19. τέτταρές εἰσιν ἔγραψα: τέτταρες εἰσὶν ΕΠ τῷ Ε: τὸ Π 20. ἀπ' ἐκείνων Π: ἀπεκείνων Ε 22. ἔχοντα Ε: ἔχοντας Π 23. τε Ε: τὲ Π εἴσιν ἔγραψα: εισιν Ε: εἰσὶν Π

Ε.Υ.Δ. τ.τ.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2007

φυκε κἀκείνοις ὑπηρετεῖ νεῦρα μὲν καὶ νωτιαῖος μυελὸς ἐγκεφάλῳ, καρδία δὲ ἀρτηρίᾳ, φλέβες δὲ ἥπατι, τὰ δὲ σπερματικὰ ἀγγεῖα τοῖς ὄρχεσιν. Αὐτὰ δ' αὐτὰ διοικεῖ χόνδρος, ὀστοῦν, ξύνδεσμος, ὑμὴν, ἀδὴν, πιμελὴ, σὰρξ ἁπλῆ, τὰ δ' ἄλλα πάντα μόρια, κοινὴν τούτοις ἔχοντα τὴν ἐξ αὑτῶν διοίκησιν, ἀρτηριῶν τε καὶ φλεβῶν καὶ νεύρων προσδεῖται. Τριχῶν δὲ καὶ ὀνύχων οὐδὲ διοίκησίς τίς ἐστιν, ἀλλὰ γένεσις μόνον. Πάλιν τῶν ἐν ἡμῖν μελῶν καὶ μορίων τὰ μὲν ἐκ σπέρματος, τὰ δ' οὐκ ἐκ σπέρματος, ἀλλ' ἐκ τοῦ αἵματος μόνον γίνεται· ἐκ σπέρματος μὲν ἅπαντα πλὴν στέατος καὶ σαρκὸς, ἐξ αἵματος δὲ στέαρ καὶ σάρξ. Καὶ ἄλλας δ' ἂν ἔχοι τις λέγειν τῶν ἐν ἡμῖν μορίων διαφορὰς, περὶ ὧν λέγειν μακρότερον ἂν εἴη γε τοῦ σκοποῦ. Ἐῶ δὲ λέγειν καὶ ὅπως ἔν τισι τῶν τοιούτων θεωρημάτων ἄλλως οἱ φυσικοὶ φιλόσοφοι καὶ ἄλλως ἐδόξασαν ἰατροί· ἄλλης γὰρ ἂν καὶ μείζονος, οὐ τῆς παρούσης καὶ ὀλιγίστης εἴη τὰ τοιαδὶ πραγματείας.

Δυνάμεις δέ εἰσιν ἐξ ὧν αἱ ἐνέργειαι. Τουτωνὶ δὲ τῶν ἐν ἡμῖν δυνάμεων καὶ ἐνεργειῶν αἱ μέν εἰσι φυσικαὶ, αἱ δὲ ζωτικαὶ, αἱ δὲ ψυχικαὶ, καὶ τῶν φυσικῶν αἱ μὲν ὑπηρετοῦσαι, αἱ δ' ἐξυπηρετούμεναι, καὶ τῶν ἐξυπηρετουμένων αὖ πάλιν ἡ μέν τις ἐστι θρεπτικὴ, ἡ δὲ αὐξητικὴ, ἡ δὲ γεννητικὴ, ἐξυπηρετοῦσι δὲ αὐταῖς ἡ μέν τις [ἡ] ἐστι θελκτικὴ, ἡ δὲ ἀλλοιωτικὴ, [ἡ δὲ . . . . . . . . .], ἡ δὲ τετάρτη ἡ ἀποκριτική· ζωτικαὶ δὲ δυνάμεις εἰσὶν αἱ ὀρεκτικαὶ, οἷον θυμικόν τε καὶ ἐπιθυμητικὸν καὶ τὰ ὅμοια. Τῶν δὲ ψυχικῶν τῶν ἐν ἡμῖν· ἐῶ γὰρ λέγειν ἐν γένει· αἱ μὲν ὀργανικαὶ, αἱ δ' ἄνευ ὀρ-

1. νωτιαῖος Ε: νοτιαῖος Π 3. αὑτὰ Π: αὐτὰ Π 3-4. ξύνδεσμος Ε: σύνδεσμος Π 4. πιμελὴ Ε: πιμελὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος πιμελὴν Π 7. διοίκησίς Π: διοίκησις Ε 15. τὰ Ε: τὰς Π 17. μέν εἰσι ἔγραψα: μὲν εἰσὶ ΕΠ 18. αἱ Ε: αἳ Π 19. τίς ἐστι Π: τῒς ἐστὶ Ε θρεπτικὴ Ε: θρεπτῒκὴ ἐκ τοῦ τὸ πρῶτον γραφέντος θρεπτηκὴ Π 20-21. ἡ δὲ αὐξητικὴ-θελκτικὴ Ε λείπουσι Π 21. ἣ προσέθηκα: λείπει Ε 22. τετάρτη ἡ Ε: τεττάρτη ἣ Π ὀρεκτικαὶ Ε: ὀρατικαὶ Π 23. θυμικόν τε Ε: θυμικὸν τὲ Π

Ε.Υ.Δ. τ.Ι.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γάνου, περὶ ὧν οὐκ ἔστι λόγος τοῖς ἰατροῖς, ἀλλ' ἢ μόνῳ γε τῷ φυσικῷ φιλοσόφῳ· τῶν δὲ ὀργανικῶν αἱ μὲν γνωστικαί, αἱ δὲ οὐ τοιαῦται, οἷα καὶ ἡ κινητικὴ δήπου δύναμις ἡ ἐκ τόπου εἰς τόπον, ἣν δὴ καὶ μεταβατικὴν δύναμιν ὀνομάζομεν. Τῶν δὲ γνωστικῶν αἱ μὲν ἐκτός, αἱ δ' ἐντὸς αἰσθήσεις εἰσί τε καὶ λέγονται. Καὶ ἐκτὸς μὲν αἰσθήσεις ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις καὶ ἡ ἁφή· ἐντὸς δὲ αἰσθήσεις κοινὴ αἴσθησις, φαντασία, λογιστικὴ καὶ ἡ μνήμη, τὰς τρεῖς κοιλίας τοῦ ἐγκεφάλου ἐπέχουσαι, κοινὴ μὲν αἴσθησις καὶ φαντασία τὴν ἔμπροσθεν, ἡ λογιστικὴ δὲ τὴν μέσην καὶ τὴν τελευταίαν ἡ μνήμη· περὶ ὧν ἀκριβέστερον λέγειν ἄλλῳ μᾶλλον ἁρμόζει καιρῷ.

Πνεύματα δὲ τὰ ἐν ἡμῖν καὶ αὐτά γε τριττά, ὥσπερ καὶ ἐν ἡμῖν δυνάμεις εἰσὶ τριτταί, φυσικά, ζωτικά τε καὶ ψυχικά, ὄργανα ὄντα καὶ διαθέσεις τῶν ἐν ἡμῖν δήπου δυνάμεων.

Ὅπερ οὖν ἔλεγον, φυσικὰ μὲν πράγματα κατὰ τοὺς ἰατροὺς ταῦτά τέ ἐστι καὶ τοσαῦτα, οἷον στοιχεῖα, κράσεις, χυμοί, μέλη, δυνάμεις, ἐνέργειαι καὶ τὰ πνεύματα· τὰ δὲ μὴ φυσικά τε καὶ κατὰ φύσιν ἐστί, τὰ ἐξ ἀνάγκης ἀλλοιοῦντα τὸ σῶμα καὶ μεταβάλλοντα, ἅπερ οὑτωσὶ λέγεται τῇ τῶν προτέρων πραγμάτων ἀντιδιαστολῇ. Καὶ ἓν μέν ἐστιν ὁ ἀὴρ καὶ ὅσα γε περὶ τὸν ἀέρα, ἕτερον δὲ κίνησίς τε καὶ ἠρεμία ὅλου τε τοῦ σώματος καὶ κατὰ μόρια, τρίτον ὕπνος τε καὶ ἐγρήγορσις, τέταρτον τὰ προςφερόμενα πάντα, πέμπτον τὰ ἐκκρινόμενα ἢ ἐπεχόμενα καὶ ἕκτον τὰ ψυχικὰ πάθη τε καὶ ξυμβεβηκότα, οἷον θυμός, λύπη καὶ τὰ τοιαῦτα. Ταυτὶ γὰρ ἀναγκαίως ἀλλοιοῖ τὸ σῶμα καὶ μεταβάλλει, ἀήρ, κίνησις,

3. δήπου ἐν συνεχείᾳ τοῦ κειμένου Ε: ἐν τῇ ᾤᾳ Π 4. δύναμιν ὀνομάζομεν Ε: ὀνομάζομεν δύναμιν Π 6. ὅρασις Ε: ὄρασις Π ἀφὴ Π: ἀφὴ Ε 9. τελευταίαν ἔγραψα: τελευταῖαν ΕΠ 12 τριττὰ Ε: τρῖτὰ Π 13. δυνάμεις εἰσὶ τριτταὶ Π: δυνάμεις ‸ει τριταὶ Ε 15. ὅπερ Ε: ὁπερ Π 16. ταῦτά ἔγραψα: ταῦτα ΕΠ 22. τέταρτον Ε: τέτταρτον Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἠρεμία, τροφὴ, πόσις, ὕπνος, ἐγρήγορσις, πλησμονὴ, κένωσις καὶ τὰ τῆς ψυχῆς ξυμβεβηκότα τε καὶ ξυμπτώματα.

Καὶ μὲν δὴ καὶ τὰ κατὰ τῆς φύσεως κατ᾽ ἰατροὺς πράγματα ταῦτ᾽ ἐστὶ, νόσος, αἴτιον νόσου ποιητικὸν δῆλα δὴ, καὶ τὰ ἐν τῇ νόσῳ ξυμβεβηκότα τε καὶ ξυμπτώματα. Ταυτὶ γὰρ ἐναντία τῇ ἡμετέρᾳ φύσει τε καὶ πολέμια, οἷον ἐπὶ παραδείγματος πυρετὸς μὲν ὁ τριταῖος, εἰ βούλει, νόσος, αἴτιον δὲ αὐτοῦ ποιητικὸν δήπου ἡ σεσηπυῖα ξανθὴ χολὴ, ξύμπτωμα δὲ ἡ ὀδύνη καὶ τὸ ὠχρὸν καὶ τὰ ὅμοια. Ἔχεις τοίνυν λαβὼν τίνα καὶ πόσα τὰ φυσικὰ κατὰ τοὺς ἰατροὺς, τίνα δὲ τὰ μὴ φυσικὰ καὶ τίνα τὰ κατ᾽ αὐτῆς τῆς φύσεως πράγματα· ἅπερ αὐτὸς μὲν ἐν τρισὶν ἐζήτησας κεφαλαίοις διῃρημένως, ἐγὼ δὲ ξυλλαβὼν διὰ μιᾶς ἐλυσάμην τῆς λύσεως.

### Ζήτημα ι΄.

*Πόσαι φύσεις εἰσὶ καὶ ποῖαι αὗταί εἰσι.*

### Λύσις.

Τρεῖς εἰσιν αἱ φύσεις τοῦ ἀνθρωπείου σώματος, αἳ καὶ διαθέσεις φυσικαὶ τοῦ αὐτοῦ κέκληνται, ὑγίεια, νόσος καὶ οὐδετέρα διάθεσις, καθ᾽ ἃς τὸ ἀνθρώπειον σῶμα ὑγιεινὸν, νοσερὸν καὶ οὐδέτερον ἐστί τε καὶ λέγεται. Καλῶ δὲ νυνὶ νόσον οὐ τὴν κατ᾽ ἐντε-

1. ἠρεμία ἔγραψα: ἠρεμία ΕΠ 2 (καὶ 5). τε Ε: τὲ Π ξυμπτώματα Ε: συμπτώματα Π Μετὰ τὴν λέξιν ξυμπτώματα αἱ λέξεις ταυτὶ γὰρ ἐναντία διαγεγραμμέναι Ε 4 δῆλα δὴ ἔγραψα: δηλαδὴ ΕΠ 5. ξυμβεβηκότα Ε: συμβεβηκότα Π 7—σ. 169, 13. αἴτιον-νόσον τῶν ἐν συνεχείᾳ τοῦ κειμένου Ε: ἐν τῇ ᾤᾳ τῶν φ. 22α καὶ 23α Π 10. τὰ μὴ Ε: τὰ τὰ Π 13. ζήτημα ·ι· Ε: λείπουσι Π 14. αὗταί εἰσι ἔγραψα: αὗται εἰσὶ ΕΠ 15. λύσις Ε: λείπει Π 16. εἰσιν ἔγραψα: εἰσὶν ΕΠ ἀνθρωπείου Π: ἀνθρωπίνου Ε 17 (καὶ κατωτέρω ἐν διαφόροις πτώσεσιν). ὑγίεια ἔγραψα: ὑγεία ΕΠ 19. ἐστί τε Ε: ἐστὶ τὲ Π

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λέχειαν καὶ ἣ τὰς τοῦ ὑποκειμένου βλάπτει φυσικὰς δυνάμεις καὶ ἐνεργείας, ἀλλὰ τὴν κατ' ἐπιτηδειότητα, ἣ δή, καὶ ἐν τῷ πλάτει τῆς ὑγιείας οὖσα, φυσική πως διάθεσίς ἐστι τοῦ ὑποκειμένου, ὑγίεια αὐτῷ οὖσα, δι' ἧς τὰς αὐτῷ προςηκούσας ἐνεργείας ἀποτελεῖ. Τέμνεται γὰρ τὸ τῆς ὑγιείας πλάτος εἰς τὴν ἁπλῶς ὑγίειαν καὶ εἰς τὴν ἐν τῷ νῦν. Καὶ ἡ μὲν ἁπλῶς εἰς τὴν ἐςαεί τε καὶ τὴν ὡς ἐπὶ τὸ πολύ, ἡ δὲ ἐν τῷ νῦν εἴς τε τὴν οὐδετέραν διάθεσιν, τὴν ἐςαεί τε καὶ ὡς ἐπὶ τὸ πολύ, καὶ εἰς τὴν νόσον ἁπλῶς, ἣ δὴ καὶ αὐτὴ ὡς ἐπὶ τὸ πολύ τέ ἐστι καὶ διὰ παντὸς, πρὸς ἣν τὸ τῆς ὑγιείας ἅπαν πεπέρασται πλάτος. Ἡ δὲ νῦν οὐδετέρα διάθεσις καὶ ἡ νῦν νόσος ἔξω τοῦ τῆς ὑγιείας ἐκπέπτωκε πλάτους, καθάπερ τῷ ἐκ Περγάμου καὶ τοῖς χαριεστέροις εὖ ἄγαν ἔδοξε δήπου τῶν ἰατρῶν. Εἰσὶ γὰρ οἳ τὴν ἁπλῶς νόσον τῶν τῆς ὑγιείας ἀπεςκορακίζουσιν ὅρων, κακῶς ἄγαν φρονοῦντες καὶ σφαλερῶς. Οὐ γὰρ κατ' ἐντελέχειαν, ἀλλὰ κατ' ἐπιτηδειότητα μόνην ἡ τοιαύτη λαμβάνεται νοσώδης διάθεσις. Ταῦτά τοι καὶ ὑγίεια ὡς νῦν ἐστι καὶ τῷ ἔχοντί πως ὑγίεια, δι' ἧς τὰς αὐτῷ προςηκούσας ἐνεργείας, ὥςπερ εἶπον, ἀποτελεῖ.

Ἐβουλόμην νὴ τὴν ἐπιστήμην αὐτὴν ἢ πρὸς παρόντα σοι περὶ τουτωνὶ διαλέγεσθαι ἢ ταυτηνὶ τὴν λύσιν εἰς μῆκος ἄγαν ἐκτεῖναι. Ἐπεὶ δὲ τὸ μὲν πρότερον νῦν οὐ ῥᾴδιον, τὸ δὲ δεύτερον ἐπαχθὲς, τοσοῦτον περὶ τῆς ἀπορίας ταύτης εἰπόντες, ἐπὶ τὰ ἑξῆς τῶν ζητημάτων σου τὸν ἡμέτερον τρέψομεν λόγον.

3. διάθεσίς ἐστι ἔγραψα: διάθεσις ἐστὶ ΕΠ 6. ἡ Ε: εἰ Π 8 ἐσαεί τε Ε: ἐσαεὶ τὲ Π ὡς Π: λείπει Ε 10 ὑγιείας ἔγραψα: ὑγείας Π: ὑγίας Ε 12. τῷ Ε: τὸ Π 13. ἀπεςκορακίζουσιν ἔγραψα: ἀποσκορακίζουσιν ΕΠ 16. νοσώδης Ε: νοσώδης ἐκ τοῦ τὸ πρῶτον γραφέντος νοσώδεις Π ταῦτά τοι ΕΠ. Ἴδε καὶ ἀνωτέρω σ. 160, 14 καὶ 163, 2. ἐστι Ε: ἐστὶ Π 19 πρὸς Π: τοῦ πρὸς προηγεῖται παρ διαγεγραμμένον Ε

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007